σίων πταισμάτων ἐξομολόγησιν σύντονον προσφέρειν τῷ δεσπότῃ, τοῦτ᾽ ἔστι περὶ τὴν ἐργασίαν τοῦ συνήθους κανόνος (οὐ γάρ ἔστιν ἄνθρωπον ὄντα μὴ πταίειν ἀνθρώπινα), ἄχρις οὗ πληροφορηθῇ ἡ συνείδησις ἡμῶν ἐν δακρύῳ ἀγάπης περὶ τῆς τούτων ἀφέσεως. Ἐὰν γάρ, φησίν, ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας. Προσέχειν δὲ δεῖ ἀδιαλείπτως τῇ αἰσθήσει τῆς ἐξομολογήσεως, μή που ἄρα ἡ συνείδησις ἡμῶν ψεύσηται * ἑαυτὴν ὑπονοήσασα ἀρκούντως ἐξομολογήσασθαι τῷ θεῷ, ὅτι πολὺ κρείττων ἐστὶν ἡ τοῦ θεοῦ κρίσις τῆς ἡμετέρας συνειδήσεως, κἂν μηδὲν ἑαυτῷ τις ἐν πάσῃ σύνοιδεν πληροφορίᾳ, καθὼς ὁ σοφώτατος ἡμᾶς Παῦλος διδάσκει λέγων· Ἀλλ᾽ οὐδὲ ἐμαυτὸν ἀνακρίνω· οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα, ἀλλ᾽ οὐκ ἐν τούτῳ δεδικαίωμαι, ὁ δὲ ἀνακρίνων με κύριός ἐστιν. Ἐὰν γὰρ μὴ πρεπόντως καὶ περὶ αὐτῶν ἐξομολογησώμεθα, δειλίαν τινὰ ἄδηλον ἐν τῷ καιρῷ τῆς ἐξόδου ἡμῶν εὑρήσομεν ἐν ἑαυτοῖς. Ἐχρῆν δὲ ἡμᾶς εὔχεσθαι τοὺς ἀγαπῶντας τὸν κύριον ἐκτὸς παντὸς φόβου τότε εὑρίσκεσθαι· ὁ μὲν γὰρ ἐν φόβῳ εὑρισκόμενος τότε ἐλευθερίῳ τρόπῳ τοὺς ταρταρίους οὐ παρελεύσεται ἄρχοντας· συνήγορον γὰρ ἔχουσιν ὥσπερ ἐκεῖνοι τὴν τῆς ψυχῆς δειλίαν τῆς ἑαυτῶν κακίας. Ἡ δὲ ἐν τῇ ἀγάπῃ ἀγαλλιωμένη ψυχὴ τοῦ θεοῦ ἐν τῇ ὥρᾳ τῆς